# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
## ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΙΓΝΑΤΙΟΥ
ἀρχιεπισκόπου Ἀντιοχείας, ἐπιστολαί.

# SANCTI MARTYRIS
## IGNATII ANTIOCHIÆ
*archiepiscopi, Epistolæ.*



Βασιλεῖ τ' ἀγαθῷ, κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M. D. LVIII.

Apud Guil. Morelium, in Græcis typographum Regium.

# ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ

ἀπὸ τῶν Ἱερωνύμου ἑρμηνευθέντων.

ΙΓΝΑΤΙΟΣ τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας τρίτος μετὰ Πέτρον τὸν ἀπόστολον ἐπίσκοπος, διωγμὸν κινήσαντος Τραϊανοῦ, θηριομαχῆσαι κελευσθεὶς, εἰς Ῥώμην στέλλεται δέσμιος· πλέων δὲ καὶ ἐπιστὰς τῇ Σμύρνῃ, ἐν ᾗ Πολύκαρπος ἀκροατὴς Ἰωάννου ἐπίσκοπος ἦν, ἔγραψε πρὸς ἐφεσίους ἐπιστολὴν μίαν, ἑτέραν πρὸς μαγνησιανοὺς, τρίτην πρὸς τραλλιανοὺς, τετάρτην πρὸς ῥωμαίους· κἀκεῖθεν ἐξιὼν, ἔγραψε φιλαδελφεῦσι, καὶ σμυρναίοις, καὶ ἰδικῶς πρὸς Πολύκαρπον, παρατιθέμενος αὐτῷ τὴν ἐν Ἀντιοχείᾳ ἐκκλησίαν· ἐν ᾗ καὶ περὶ τοῦ εὐαγγελίου τοῦ πρῴην μεταφρασθέντος, ἐκ προσώπου Ἰησοῦ
» Χριστοῦ μνήμην ποιεῖται λέγων, ἐγὼ δὲ καὶ μετὰ τὴν ἀνάστα-
» σιν ἐν σώματι αὐτὸν εἶδον, καὶ πιστεύω ὅτι ἐστί· καὶ ὅτι ἦλθε πρὸς
» Πέτρον καὶ τοὺς σὺν αὐτῷ, εἶπεν αὐτοῖς, ψηλαφήσατέ με, ὅτι
» οὐκ εἰμὶ δαιμόνιον σωματικόν. καὶ εὐθὺς ἥψαντο αὐτοῦ ἐπί-
» στευσαν. ἄξιον δὲ φαίνεται, ἐπεὶ τοῦ τοιούτου ἀνδρὸς πεποιήμε-
θα μνήμην, ἐκ τῆς ἐπιστολῆς αὐτοῦ τῆς πρὸς ῥωμαίους γρα-
» φείσης, ὀλίγα ἐκθέσθαι· ἀπὸ Συρίας ἄχρι Ῥώμης, θηριο-
» μαχῶ ἐν θαλάσσῃ καὶ ἐν γῇ, νυκτὸς καὶ ἡμέρας, δέκα συν-
» δεδεμένος λεοπάρδοις, τουτέστι στρατιώταις τοῖς φυλάσσουσί
» με· οἵτινες καὶ μετ' εὐεργεσίαν χείρονες γίνονται. αἱ γὰρ ἀνο-
» μίαι αὐτῶν, παίδευσίς μου ἐστίν· ἀλλ' οὐ διὰ τοῦτο ἐδικαιώθην.
» καὶ εἴθε ἀπολαύσω τῶν θηρίων τῶν εὐτρεπισθέντων μοι· ἅ-
» τινα εὔχομαι ὀξύτατα εἶναί μοι εἰς ἀπώλειαν, καὶ ἐνδελεχῆ-

# ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΙΓΝΑΤΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΟΥΠΟΛΕΩΣ Ἀντιοχείας, ἐπιστολαί.

## ΠΡΟΣ ΜΑΡΙΑΝ Α.

ΙΓΝΑΤΙΟΣ Ο ΚΑΙ Θεοφόρος, τῇ ἠλεημένῃ ὑπὸ θεοῦ πατρὸς ὑψίστου, καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, πιστοτάτῃ, ἀξιοθέῳ, χριστοφόρῳ θυγατρὶ, Μαρίᾳ, πλεῖστα ἐν θεῷ χαίρειν.

Κρεῖττον μὲν γράμματος ὄψις, ὅσῳ περ μέρος οὖσα τοῦ χοροῦ τῶν αἰσθήσεων· οὐ μόνον οἷς μεταδιδοῖ τὰ φιλικὰ, τιμᾷ τὸν λαμβάνοντα· ἀλλὰ καὶ οἷς ἀντιδέχεται τὸν ἐπὶ τοῖς κρείττοσι πόθον, πλουτεῖ.

Pag.

127 κατὰ σάρκα. Vetus interpres legit, οὐδὲ τὴν κατὰ σάρκα ἀγα-πᾶν τε, ἀλλὰ τὴν κατὰ θεόν.

129 ὅπως, Paceus legit μηδ' ἂν ἀγνοῦσαι. Vetus interpres expreßit vt cudimus.

131 σῶν αὐτοῦ βάσανος. Locus qui ſequitur, his verbis cita-tur Meliß. lib. 2. λόγ. ξζ. οὐδὲν ἐστιν ἄμετρον εἰρήνης, ἐν ᾗ πᾶς ὁ πόλεμος καταλύεται.

134 δόξαν ὡς ἐληλυθὼς δεξάμενος, Paceus legit.

137 ὑμῶν, τὴν ὧν ἐπέμψατε. Vet. int. numero vnitatis οὗ vel ὅν.

138 κάλλιστος. pro ἀξιοεπίπιστος, Vetus interp. legit ἀξιοπί-στευτος vel ἀξιόπιστος. Vertit enim, Fide dignæ.

139 Ἐπὶ εὐξάμενος, ſic Paceus. Vetus interpres non reddit illud ἐπὶ, ac ἐπευξάμενος legiſſe videtur. multo certè melius. nã oratio alioqui videtur ſuſpenſa & im-perfecta, niſi cum inſcriptione hoc initiũ iungatur.

141 ἐκκλησίαις, τὴν ὀφειλοῦμαι. forte τὴν ὀφείλομαι.

143 ἥψαντο· καὶ αὐτὰ δὲ ἐὰν ἑκόντα. Particulam ἐὰν Paceus non habet, Vetus interpres expreßit.

146 καὶ Ἀβρ. τίμια θέλω, τὸ τίμια αὐτοῦ. Vetus interpres, τὸ αἷ-μα αὐτοῦ.

EXCVDEBAT GVIL. MORELIVS, IN GRÆCIS TYPOGRAPHVS REGIVS, LVTETIÆ PARI-SIORVM, M. D. LVIII. IX. CAL. OCTOB.